www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Παρακλητικὸς Κανὼν εἰς τὸν Ἅγιον Ἱερομάρτυρα Χαραλάμπη

Ἅγιον Ὄρος

2018

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

# Παρακλητικὸς Κανὼν εἰς τὸν Ἅγιον Ἱερομάρτυρα Χαραλάμπη

## Ἦχος πλ.δ'.

*ᾨδὴ Α' Ὑγρὰν διοδεύσας.*
Χαρᾶς τῆς ἀφράστου ἐν οὐρανοῖς, νῦν ἐπαπολαύων, Ἀρχαγγέλων σὺν τοῖς χοροῖς, χαρά μοι δοθῆναι Χαραλάμπη, τῆς ἀπαθείας Χριστὸν καθικέτευε.

Αὐγαῖς ἐλλαμπόμενος τῷ φωτί, τῆς Τρισυποστάτου, θεαυγείας ἱερουργέ, μετανοίας λάμψον μοι ἀντίνα, τῷ ταλαιπώρῳ πρεσβείαις σου δέομαι.

Ῥοὰς ἀποξήρανον ἀθλητά, τῶν ἁμαρτιῶν μου, ὁ αἱμάτων σου προχοαῖς, τὸν βύθιον θῆρα ἀποπνίξας, Χριστοῦ λαμπτὴρ Χαραλάμπη γηθόμενος.

*Θεοτοκίον.*
Ἱλάρυνον Δέσποινα τὴν σκληράν, καρδίαν μου ὅπως, εὐποιΐαις τῶν οἰκτιρμῶν, Χριστοῦ τοῦ Υἱοῦ σου ἐπιτύχω, καὶ αἰωνίου πυρὸς διαφεύξωμαι.

*ᾨδὴ Γ' Σὺ εἶ τὸ στερέωμα.*
Ἅπαντα τὸν βίον μου, τῇ ῥαθυμίᾳ ἀνήλωσα, καὶ νῦν τῇ σῇ, καταφεύγω μάρτυς, βοηθείᾳ ἐξέγειρον.

Λάμπρυνον τὴν τάλαιναν, ψυχήν μου τῆς μεταγνώσεως, θείῳ φωτί, ταῖς σαῖς ἱκεσίαις, στεφανίτα πρὸς Κύριον.

Ἀπορίας λύτρωσαι, τῆς κατεχούσης με ἅγιε, καὶ ἀναγκῶν, καὶ παντοίας βλάβης, ψυχῆς ἅμα καὶ σώματος.

*Θεοτοκίον.*

Λόγον τὸν συνάναρχον, Πατρὶ καὶ Πνεύματι Δέσποινα, ἐν τῇ γαστρί, συλλαβοῦσα γένος, τῶν ἀνθρώπων ἀνέπλασας.

*Ὠιδὴ Δ' Εἰσακήκοα Κύριε.*

Μηχανὰς τοῦ ἀλάστορος, σύντριψον πανόλβιε ταῖς πρεσβείαις σου, Χαραλάμπη καὶ ὁδήγησον, πρὸς Θεοῦ τρισμάκαρ εὐαρέστησιν.

Παθοκτόνον ἐγκράτειαν, τῷ Χριστῷ δωρήσασθαί με ἱκέτευε, καὶ κατάνυξιν καὶ ἔννοιαν, τοῦ θανάτου ἔνδοξε Χαράλαμπες.

Ἡδοναῖς τὴν καθάπασαν, βιοτήν μου ἅγιε ἐδαπάνησα, ὡς Χριστοῦ θεράπων γνήσιος, τοῖς τῆς μετανοίας τρίβοις ἴθυνον.

Θεοτοκίον.

Ἀσυνείδητον ὄντα με, καὶ ἀμετανόητον Πανάμωμε, νικησάτω τῆς κακίας μου, ἡ σὴ εὐσπλαγχνία τὸ ἐπίμονον.

*Ὠιδὴ Ε' Φώτισον ἡμᾶς.*

Τῷ πανευκλεεῖ, τοῦ Χριστοῦ ἱερομάρτυρι, ἐν πίστει σοι προσπίπτοντα τῶν παθῶν, τῶν κατεχόντων με ἀνακούφισον.

Ὁ ἐν οὐρανοῖς, τῇ Τριάδι παριστάμενος, θεόφρον Χαραλάμπη τοῦ σοῦ οἰκτροῦ, ἀεὶ ἱκέτου μάκαρ μνημόνευε.

Νόσῳ χαλεπῇ, συσχεθέντα με θεράπευσον, ὁ ἰατρὸς σωμάτων καὶ τῶν ψυχῶν, Χριστοῦ μαρτύρων, τὸ κλέος καὶ ἐγκαλώπισμα.

*Θεοτοκίον.*

Ῥύπων ὁ δεινός, ὅλος γέμων Παναμώμητε, ἐναποκάθαρον Μῆτερ τοῦ Λυτρωτοῦ, Θεοῦ καὶ Λόγου, τοῦ ἐκ μήτρας σου ἀνατείλαντος.

*Ὠιδὴ ΣΤ' Τὴν δέησιν ἐκχεῶ.*

Ἱκέσιόν, σοι ᾠδὴν μακάριε, μελωδῶν ἱερομάρτυς τὰ πλήθη, τῶν οἰκτιρμῶν, τὸν Χριστὸν καταπέμψαι, αὐτοῦ τῷ βάρει τῆς γῆς με ἱκέτευε, καὶ ἐκ βυθοῦ ἀναγαγεῖν, τῶν κακῶν μου, ὡς μόνος φιλάνθρωπος.

Ἐκύκλωσαν, τὴν ψυχήν μου πάντοθεν, ὡσεὶ μέλισσαι κηρίον αἱ πράξεις, αἱ ἐναγεῖς, ἃς τὸ πρὶν εἰργασάμην, καὶ ἐπιμένω εἰσέτι τοῖς χείροσι, τῆς μετανοίας τῷ φωτὶ Χαραλάμπη, εὐχαῖς σου με λάμπρυνον.

Ῥυπάναντα, τοῦ λουτροῦ ἀμφίασιν, καὶ τοῦ Σχήματος στολὴν τοῦ Ἁγίου, τοῖς μυσαροῖς, καὶ ἀθέσμοις μου ἔργοις, τὸν διχασμὸν οὐδαμῶς ἐνθυμούμενος, τῇ σῇ προσφεύγω ἀθλητά, ἀντιλήψει, τυχεῖν παρακλήσεως.

*Θεοτοκίον.*

Ἱκάνωσον, πρὸς Θεοῦ τὴν τρίβον με, διοδεύειν πανακήρατε Κόρη, ὥσπερ τὸ πρίν, ὁ Υἱός σου τῷ λόγῳ, ὡς ἀγαθὸς τὸν παράλυτον ἤγειρε, ἀπεγνωσμένων γὰρ εἶ σύ, προστασία θερμὴ καὶ ἀντίληψις.

*Ὠιδὴ Ζ΄ Παῖδες Ἑβραίων.*

Ὁ ἐν ἀνάγκαις Χαραλάμπη, παρακλήτωρ καὶ ἐν θλίψεσι παντοίαις, τῷ καλοῦντί σε νῦν, ὀξέως Πάτερ πρόσχες, καὶ δίδου τὴν βοήθειαν, μιμητὰ τοῦ σοῦ Δεσπότου.

Νέμεις τὴν χάριν τοῖς αἰτοῦσι, τῶν πλουσίων δωρεῶν ὧν ἐκομίσω, πρὸς Χριστοῦ τοῦ Θεοῦ, δι᾽ ὃν θυσία ἤχθης, θαυματουργὲ Χαράλαμπες, ἀθλοφόρε γενναιόφρον.

Ἵλεων τῷ συνεχομένῳ, τῶν κακῶν ἐν τοῖς δεσμοῖς ἐξ ἀπονοίας, τὸν Σωτῆρα Χριστόν, ποίησον σαῖς πρεσβείαις, δι᾽ ὅνπερ προσωμίλησας, ἀφορήτοις ἐν βασάνοις.

*Θεοτοκίον.*

Ὤφθης συμπάσης ὑπερτέρα, Θεονύμφευτε τῆς κτίσεως ὡς ταύτης, συλλαβοῦσα Θεόν, καὶ Κτίστην καὶ Σωτῆρα, βροτῶν τοῦ γένους ὅθεν σέ, ἐσαεὶ δοξολογοῦμεν.

*Ὠιδὴ Η΄ Τὸν Ἄναρχον Βασιλέα.*

Κατεύνασον θεομάκαρ τὴν φλόγα, Χαράλαμπες τῶν παθῶν τῶν εὐχῶν σου, τῶν θείων δροσισμῷ, ἵνα ἐν εὐφροσύνῃ ἀεὶ ὑμνολογῶ σε.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἐπίβλεψον συμπαθῶς δεομένῳ, σοὶ Ἅγιε καὶ δεινῆς με ἀνάγκης, ἐν τάχει ἐξελοῦ, ὡς γνήσιος τοῦ μόνου, ἐκλυτρωτοῦ θεράπον.

Τριάδα δοξολογῶ ἐν Μονάδι, Πατέρα καὶ τὸν συνάναρχον Λόγον, σὺν τῷ ζωοποιῷ, Πνεύματι τῷ Ἁγίῳ, εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Νενίκηνται οἱ τῆς φύσεως ὅροι, ἐν σοὶ Θεοχαρίτωτε ὄντως, ἀσπόρως γὰρ Θεόν, ἐν μήτρᾳ συλλαβοῦσα, ἔτεκες παναφθόρως.

*Ὠιδὴ Θ΄ Κυρίως Θεοτόκον.*

Ἑσμῷ πλημμελημάτων, νῦν ἐταζομένῳ, ταῖς θεοδέκτοις πρεσβείαις σου μὲ ἀθλητά, χαρᾶς ἐπώνυμε δίδου τὴν ἄφεσιν.

Ὑπέρμαχος ὡράθης, μάρτυς Χαραλάμπη, τῶν ἐν ἀνάγκαις καὶ θλίψεσι καὶ συμφοραῖς, κἀμὲ τρισμάκαρ, ἐκ τούτων λύτρου ἀεί.

Ὠιδὴν τῶν Ἀρχαγγέλων, πίστει ἀναμέλπω, τῇ Παναγίᾳ Τριάδι Πατρὶ καὶ Υἱῷ, καὶ τῷ συνθρόνῳ συνάμα Ἁγίῳ Πνεύματι.

*Θεοτοκίον.*

Μητρὶ τῇ πανενδόξῳ, ἡμῶν καὶ Ἐφόρῳ, αἱ τοῦ Ἁγίου χορεῖαι τοῦ Ἄθω ἀεί, τῶν μοναστῶν τοῦ Ἀγγέλου, τὸ Χαῖρε μέλπομεν.

*Προσόμια. Ὢ τοῦ παραδόξου θαύματος. Ἦχος πλ.δ΄*

Πίστει τῇ σεπτῇ Εἰκόνι σου, προσπίπτοντά με δειναῖς, περιστάσεσιν ἅγιε, νῦν περικυκλούμενον,

εὐμενῶς μοι ἐπίβλεψον, ἱερομάρτυς Χριστοῦ Χαράλαμπες, ἀπορουμένων θεία παράκλησις, τούτων διάλυσον, νέφη καὶ ἀπέλασον πόρρω ὡς ἄν, ἐν γαλήνῃ ἔνδοξε, ὕμνοις γεραίρω σε.

Θράση δυσμενῶν κατέβαλες, προσομιλῶν ἀθλητά, ἀνυποίστοις κολάσεσι, καὶ παντοίαις θλίψεσι, καὶ αἱμάτων ἐκχύσεσι, διὰ τὴν πάντων ζωὴν πανένδοξε, Χριστὸν ὃν πάντοτε καθικέτευε, τοῖς ἀνυμνοῦσί σε, καὶ φερωνυμοῦσί σε ἁμαρτιῶν, δωρήσασθαι ἄφεσιν, θεῖε Χαράλαμπες.

Θρόνῳ τοῦ Χριστοῦ Χαράλαμπες, στεφανηφόρε χοροῖς, τῶν Μαρτύρων μακάριε, παρεστὼς τῶν δούλων σου, τῶν ὑμνούντων σε μέμνησο, σωμάτων νόσους τούτων ἰώμενος, καὶ ἄγη πάντα ψυχῶν πρεσβείαις σου, ὄντως πλουσία σοι, τῶν θαυμάτων δέδοται παρὰ Χριστοῦ, τοῦ Παμβασιλεύοντος, ἡ χάρις ἔνδοξε.

Ὄρει τῷ Ἁγίῳ Δέσποινα, οἱ ἐνοικοῦντες τῷ σῷ, περιβόλῳ τὸ ἄφραστον, καὶ φρικτὸν μυστήριον, τοῦ σοῦ τόκου Πανύμνητε, δοξολογοῦμεν καὶ ἐξαιτούμεθα, ἐν τῇ φρικώδει ὥρᾳ τυχεῖν ἡμᾶς, τῆς βοηθείας σου, τοῦ θανάτου Μήτηρ γὰρ πέλεις ἡμῶν, τοῦ Θεοῦ λοχεύτρια, καὶ κόσμου σώτειρα.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ